οὐρανοῦ. Ἀντικρυς.] φανερῶς καὶ ἀναμφισβητήτως μηδὲν ἄξιον λόγῳ ἑτέρῳ.

BISETUS. Ἀδ' ᾤω.] ἀντὶ τῆ ἀδεξιῶ. τὸ δὲ προαιρούσης λαβεῖν, τινὲς ἐκ ἀσαφεῖας ἑρμηνεύουσι, προῃρημένως, τουτέστι κατὰ τὴν ἡμῶν προαίρεσιν, καὶ γνώμην, ὅταν βουλόμεθα λαβεῖν. ἀλλαχοῦ δὲ τὸ προαιρεῖν, τὸ πρότερον λαβεῖν, εἴτε προλαβεῖν δηλοῖ. Κακοηθέστατα.] κρυπτά, δυσεπιβούλευτα. τῷ δὲ μεταφορικῶς. Εὐστάθιος. Λακωνικὰ δὲ λέγει, ὅτι αἱ Λακωνικαὶ κλεῖδες κατὰ τὸ Σουΐδαν περιβόητοι ἦσαν. γομφίους δὲ καλεῖ τοὺς ὀδόντας. τὰς κλειδώσεις. μεταφορικῶς καὶ τὸ νῦν λέγε). ὑποῖξαι δὲ, λάθρα, καὶ κλεπτικῶς ἀνοῖξαι. Ὠκότριψ.] τὸ πλῆρες, ὁ οἰκότειψ. τουτέστιν ὁ ἐν τῇ οἰκίᾳ θρεπτὸς διαφέρει δὲ οἰκέτης οἰκοτρίβου. ὁ μὲν γὰρ οἰκότριψ ἀπὸ γονέων δοῦλος. ὁ δὲ οἰκέτης, οὐ πάντως, ἀλλὰ καὶ ὁ αἰχμάλωτος, καὶ ὁ ἐν οἴκῳ ὤν. Ἄλλως. οἰκότριψ ὁ ἐν τῇ οἰκίᾳ διατρεφόμενος. ὃν ἡμεῖς θρεπτὸν καλοῦμεν. οἰκέτης δὲ, ὁ δοῦλος, ὁ ὠνητός. Ἡσύχιος. οἰκότριψ δὲ λέγεται διὰ τὸ τρεφόμενον ἐν τῇ οἰκίᾳ τρίβειν, εἴτε διατρίβειν, στρέφεσθαι, μένειν, καὶ διάγειν. Θριπήδεστα.] Σουΐδας, θριπήδεστα διὰ τοῦ η. οὕτω δὲ καλεῖται τὰ ξύλα ὑπὸ θριπῶν βεβρωμένα, οἷς ἐσφράγιζον. θρὶψ γὰρ ζῷόν ἐστι κατεσθίον ξύλα, καὶ κέρατα. καὶ θριπήδεστον Τυρτέλης τὴν Ἑλλάδα εἶπεν, ἀντὶ τοῦ διεφθαρμένην,

A ἀπὸ τῶν ὑπὸ θριπῶν κατεδηδεσμένων ξύλων. Ἄλλως. Παυσανίας λέγει ὅτι θριπήδεστα ξυλήφια τὰ ὑπὸ θριπῶν βεβρωμένα, ὡς ἀπὸ τοῦ ἔδω. οἷς ἐχρῶντο, φησίν, οἱ σφόδρα οἰκονομικοὶ ἀντὶ γλυπτῶν σφραγίδων. Εὐστάθιος. τινὲς δὲ αὐτὰ πεντασυλλάβως θριπηδέστατα καλοῦσι. διαφέρει δὲ τὸ σφραγίδιον τοῦ δακτυλίου. ὅτι κατὰ τὸν Ἡσύχιον δακτύλιον μὲν τὸ ἁπλοῦν δακτυλίδιον ἐκάλουν. τὸ δὲ γλυφὴν ἔχον, σφραγίδιον. Κυκανᾶν.] ἔν τισι παλαιῶν ἀντιγράφων, καὶ παρὰ τῷ Σουΐδᾳ γράφεται κυρκανᾶν μετὰ τοῦ ρ. δηλοῖ δὲ τὸ ταράττειν, καὶ

B κινεῖν, ἀπὸ τοῦ κυκάω, ῶ. διὸ βέλτιον ἴσως γράφειν κυκανᾶν ἄνευ τοῦ ρ. Οὐπώποτε.] τὴν γυναῖκα τὴν Εὐριπίδου καταδραμοῦσαν, καὶ κατηγορήσασαν ὁ χορὸς ἐπαινεῖ. εἰσὶ δὲ στίχοι δέκα μικτοί. Πολυπλοκωτέρας.] πολύπλοκος, πολύτροπος, ὁ ἐπὶ πολλὰ τρεπόμενος, ἢ πρὸς τὸν ἑαυτοῦ διάνοιαν ὑφ' ἕνα καιρόν. Ἡσύχιος. οὕτω καὶ παρὰ Θεόγνιδι νοητέον,

C Πουλύποδος ὀργὴν ἴσχε πολυπλόκου, ὃς ποτὶ πέτρῃ

Τῇ προσομιλήσει, τοῖος ἰδεῖν ἐφάνη.

Ἐν δὲ τοῖς κάτω νόημα πολύπλοκον καλεῖ τὸ πολύτροπον. Ξενοκλῆς ὁ Καρκίνε.] περὶ τούτων εἴρηται ἐν βατράχοις, καὶ ἀλλαχοῦ.

## ΕΤΕΡΑ ΓΥΝΗ.

## ALTERA MVLIER.

BISETUS. Ἡ νῦν παρελθοῦσα γυνὴ τὰ ὑπὸ τῆς πρώτης κατ' Εὐριπίδου ἄρτι λεχθέντα συντόμως ἐπιψηφίζουσα, ἓν μόνον προστίθησιν, ἤ-

D γουν ὅτι ἀσεβὴς, καὶ ἄθεος ὤν, τὸν δῆμον διδάσκει ἐν ταῖς ἑαυτοῦ τραγῳδίαις ἐκ εἶναι θεούς. εἰσὶ δὲ στίχοι τετράμετροι ἀναπαιστικοὶ ιϛ'.

Ετ. Γ Ὀλίγων ἕνεκ' αὐτὴ παρῆλθον ῥημάτων.
Τὰ μὲν γὰρ ἄλλα, αὕτη κατηγόρηκεν εὖ.
Ἃ δ' ἐγὼ πέπονθα ταῦτα λέξαι βούλομαι.
Ἐμοὶ γὰρ ἀνὴρ ἀπέθανεν μὲν ἐν Κύπρῳ.
Παιδάρια πέντε καταλιπὼν. ἃ 'γὼ μόλις
Στεφανηπλοκοῦσ' ἔβοσκον ἐν τοῖς μυρρίναις.
Τέως μὲν οὖν ἀλλ' ἡμικάκως ἐβοσκόμην,
Νῦν δ' οὗτος ἐν ταῖσι τραγῳδίαις ποιῶν
Τοὺς ἄνδρας ἀναπέπεικεν οὐκ εἶναι θεούς.
Ὥστ' οὐκέτ' ἐμπολῶμεν οὐδ' εἰς ἥμισυ.
Νῦν οὖν ἁπάσαισι παραινῶ καὶ λέγω,
Τοῦτον κολάσαι τὸν ἄνδρα πολλῶν οὕνεκα.
Ἄγρια γὰρ ἡμᾶς ὦ γυναῖκες δρᾷ κακά.
Ἅτ' ἐν ἀγρίοισι λαχάνοις αὐτὸς τραφείς.
Ἀλλ' εἰς ἀγορὰν ἄπειμι. δεῖ γὰρ ἀνδράσιν
Πλέξαι στεφάνους συνθηματιαίους εἴκοσιν.
Χο. Ἕτερον αὖ τι λῆμα τοῦτο
Κομψότερον ἔτ' ἢ τὸ πρότερον ἀναπέφηνεν.
Οἷα κατεστωμύλατο
Οὐκ ἄκαιρα φρένας ἔχουσα.
Καὶ πολύπλοκον νόημα. οὐδ' ἀσύνετ' ἀλλὰ
Πιθανὰ πάντα. δεῖ δὲ ταύτης

AL. M. Paucorum causa ipsa prodij verborum,
Alia enim hæc accusauit bene.
Quæ verò passa sum, hæc dicere volo.
E Mihi enim vir mortuus est quidem in Cypro,
Puerulos quinque qui reliquit, quos ego vix
Coronas texens pascebam in Myrtis.
Tunc quidem igitur, sed semimale alebat,
Nunc verò iste in Tragœdijs faciens,
Viros persuasit non esse Deos.
Vnde non amplius vendimus ne dimidium quidem coronarum.
Nunc igitur omnes admoneo, & dico
F Hunc punire virum multis de causis.
Agrestibus enim nos ô mulieres, afficit malis,
Vtpote in agrestibus oleribus ipse nutritus.
Sed in forum abibo, oportet enim viris
Texere coronas consacrificatorias viginti.
CH. Altera rursus quædam audacia hæc
Facundior adhuc quàm prior apparuit.
Qualia facundè dixit,
G Non importuna, mentem habens,
Et varium multiplicémque sensum, neque imprudentia, sed
Probabilia omnia. oportet autem huius

BOURDINUS. Ὀλίγων ἕνεκ.] ἐγώ, φησὶν ἡ γυνή, βούλομαι βραχυλογεῖσθαι καὶ ὀλίγα εἰπεῖν. πα-